ἑαυτὸν δὲ χρυσῷ καθαρῷ καὶ ἰὸν μὴ ποιοῦντι· διὰ γὰρ τοῦτο κἀκεῖνος εἶπεν·

χρυσέῳ ἐν δαπέδῳ

διὰ τὸ καθαρόν· δεῖ οὖν πάντας τοὺς λόγους ἐκθέσθαι, ἵνα τὸ ἀληθὲς ὀφθῇ. λέγει τοίνυν αὐτῷ ὁ Σωκράτης, ὅτι ἐπειδὴ φίλος μοι εἶ, μὴ ἀπατήσῃς με, ἀλλὰ ἔλεγξον, εἰ δύνασαι· οἶδα δὲ ὅτι εὐνοεῖς μοι, ἐπειδὴ οἶδα, ὅτι ἑταῖροι τέσσαρες γεγόνατε πάλαι καὶ ἐλέγετε πρὸς ἀλλήλους, ὅτι μέχρι πόσου φιλοσοφοῦμεν καὶ οὐκ ἀπεχόμεθα καὶ λοιπὸν πολιτικοὶ γινόμεθα· ταῦτα οὖν καὶ πρὸς ἐμὲ εἶπας, καὶ δῆλον ὅτι κἀμὲ φιλῶν τούτοις ἐχρήσω τοῖς λόγοις. δεῖ τοίνυν εἰδέναι, ὅτι διὰ 2
τούτων ὁ Σωκράτης κανόνα ἡμῖν παραδίδωσιν διακριτικὸν τοῦ συμβούλου· λέγει τοίνυν, ὅτι σύμβουλος θέλει τὰ τρία ταῦτα ἔχειν· ἐπιστήμην, εὔνοιαν, παρρησίαν· εἰ οὖν ἐπιστήμην μὲν ἔχοι, εὔνοιαν δὲ μή, οὐκ ἂν συμβουλεύσοι μισῶν τὰ δέοντα· οὕτω γ' οὖν καὶ ὁ ἰατρὸς μισῶν τὸν κάμνοντα οὐκ ἰάσεται· καὶ πάλιν εἰ ἔχοι μὴν ἐπιστήμην καὶ εὔνοιαν μὴ μέντοι παρρησίαν, οὐκ ἂν συμβουλεύσοι· οὕτω γ' οὖν βασιλεῦσιν οὐ συμβουλεύουσιν, ἐπειδὴ οὐ θαρροῦσιν· φησὶν οὖν ὁ Σωκράτης, ὅτι ἐπειδὴ ἔχεις ἐπιστήμην, ὡς οἴει καὶ μαρτυροῦσίν σοι οἱ Ἀθηναῖοι· καὶ ἰδοὺ τὸν πολὺν ἄνθρωπον φέρει μαρτυροῦντα αὐτῷ· ἔχεις δὲ καὶ εὔνοιαν, φιλεῖς γάρ. ὡσαύτως δὲ καὶ παρρησίαν, εἰ καὶ μὴ κυρίαν ἀλλὰ ἄλογον· ἀναίδειαν γὰρ ἔχεις, εἴ γε ἐγκαλεῖς Γοργίᾳ τε καὶ Πώλῳ ὡς αἰσχυνθεῖσιν· ἐπεὶ οὖν ἔχεις τὰ τρία, γενοῦ σύμβουλος καὶ ἔλεγξον, εἰ κακῶς φρονῶ· ἐπεὶ τοίνυν διὰ τὰ τρία ταῦτα τὰ μέγιστα ἁμαρτάνομεν ἢ διὰ τὸ ἔχειν διάστροφον δόξαν ἢ διὰ θυμὸν ἢ δι' ἐπιθυμίαν, ἐλήλεγκται δὲ τὸ διάστροφον ἦθος ἐν τοῖς πρὸς Γοργίαν λόγοις, τὸ δὲ θυμοειδὲς ἐν τοῖς πρὸς Πῶλον. νῦν οὖν δεῖ ἐλεγχθῆναι τὸ ἐπιθυμητικόν, ἵνα τελέως πιστεύσωμεν τῇ ἀληθείᾳ καὶ πλησίον, ὅσον οἷόν τέ ἐστι, γε-

---

3 Δ 2

---

13 mg. ση. τὰ τρία στοιχεῖα τοῦ ἀγαθοῦ συμβούλου  18 mg. ση.  28 mg. ση. ὅτι περὶ τρία τὸ ἁμαρτάνειν ἡμᾶς

---

7.8 ἑταῖροι ς, ἕτεροι M